## XIV (488?)

## *ΑΣΩΠΙΧΩΙ ΟΡΧΟΜΕΝΙΩΙ ΣΤΑΔΙΕΙ*

metrum: aeolica et dimetra (*A′–B′*)

| | | |
|---|---|---|
| 1 | – – ⏑ – ⏑ ⏑ – \| | *∧chodim* \| |
| 2 | ⏑ – ⏑  – ⏑ – ⏑ ⏑ – ⏑ –  ⏑ – – \| | *ia ∧gl ba* \| |
| 3 | – ⏑ ⏑ – ⏑  – ⏑ – ⏑ ⏑ – – \|\| | *(∧gl) ∧pher* \|\| |
| 4 | ⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑  – ⏑ – ⏑ ⏑ –  ⏑ – ⏑ – \| | *∧chodim ∧chodim ia* \| |
| 5 | – ⏑ ⏑ – ⏑ – | *(∧gl) cr (∧gl)* \|\| |
| | – ⏑ –  – ⏑ ⏑(?) – ⏑ – \|\| | |
| 6 | – ⏑ ⏑ – ⏑  –  – ⏑ ⏑ – \|\| | *(∧gl) cho* \|\| |
| 7 | – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ – – \|\| | *∧chodim ∧pher* \|\| |
| 8 | –  ⏑ – ⏕  –  – ⏑ ⏑ – ⏑ – \| | *cr gl* \| |
| 9 | – ⏑ ⏑ – ⏔ – | *(∧chodim) cr ia cho* \|\| |
| | – ⏑ –  ⏑ – ⏑ –  – ⏑ ⏑ – \|\| | |
| 10 | – –  ⏑ – ⏑ – \| | *sp ia* \| *cr (∧gl)* \|\| |
| | – ⏑ –  – ⏑ ⏑ – ⏑ – \|\| | |
| 11 | – ⏕ ⏑ –  – – ⏑ – \| | *2 ia* \| |
| 12 | – ⏑ ⏑ – ⏑  – ⏑ – ⏑ ⏑ – ⏑ –  ⏑ – – \|\|\| | *(∧gl) ∧gl ba* \|\|\| |

*A′* *Καφισίων ὑδάτων*
*λαχοῖσαι αἵτε ναίετε καλλίπωλον ἕδραν,*
3 *ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι*
*Χάριτες Ἐρχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπίσκοποι,*
*κλῦτ᾽, ἐπεὶ εὔχομαι· σὺν γὰρ ὑμῖν τά ⟨τε⟩ τερπνὰ καί*
6 *τὰ γλυκέ᾽ ἄνεται πάντα βροτοῖς,*
*εἰ σοφός, εἰ καλός, εἴ τις ἀγλαὸς ἀνήρ.*
*οὐδὲ γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ*
9 *κοιρανέοντι χορούς*
*οὔτε δαῖτας· ἀλλὰ πάντων ταμίαι*
*ἔργων ἐν οὐρανῷ, χρυσότοξον θέμεναι πάρα*
*Πύθιον Ἀπόλλωνα θρόνους,*
12 *αἰέναον σέβοντι πατρὸς Ὀλυμπίοιο τιμάν.*

**CN = ζ, BEFGH = v** || 4 *ὀρχομενοῦ*: Cavedoni || 5 *ὔμμιν* Herm. | *τὰ τερπνά τε καί* **C**, *τὰ τερπνὰ καὶ* **Nv**: Herm. || 6 *γλυκέα γίνεται* (*τὸ δὲ ἄνεται* [*γίνεται* codd., corr. Schr.] *ἀντὶ τοῦ ἀνύεται* ΣCN): Kayser || 8 *οὔτε*: Schneidewin || 12 *ἀένναον*: Schr. (*ἀέναον* byz.)





*B′* *⟨ὦ⟩ πότνι᾽ Ἀγλαΐα*
*φιλησίμολπέ τ᾽ Εὐφροσύνα, θεῶν κρατίστου*
3 *παῖδες, ἐπακοοῖτε νῦν, Θαλία τε*
*ἐρασίμολπε. ἰδοῖσα τόνδε κῶμον ἐπ᾽ εὐμενεῖ τύχᾳ*
*κοῦφα βιβῶντα· Λυδῷ γὰρ Ἀσώπιχον ἐν τρόπῳ*
6 *ἐν μελέταις τ᾽ ἀείδων ἔμολον,*
*οὕνεκ᾽ Ὀλυμπιόνικος ἁ Μινύεια*
*σεῦ ἕκατι. μελαντειχέα νῦν δόμον*
9 *Φερσεφόνας ἐλθ᾽, Ἀ-*
*χοῖ, πατρὶ κλυτὰν φέροισ᾽ ἀγγελίαν,*
*Κλεόδαμον ὄφρ᾽ ἰδοῖσ᾽, υἱὸν εἴπῃς ὅτι οἱ νέαν*
*κόλποις παρ᾽ εὐδόξοις Πίσας*
12 *ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν.*

13 *ὦ* suppl. byz. | *πότνια* **v** || 14 *τε* **v** | *κρατιστόπαιδες* Σ || 15 *ἐπάκοοι νῦν* (= Σ): Bgk. || 17 *λυδίῳ*: Pauw | *ἐν* secl. Schr. sec. Σ metr. || 20 *μειλαντειχέα* P. Maas, Kl. Schr. 229, 4 || 21 *περσεφόνας* ζ || 23 *εὐδόξοιο*: Bgk.